# Τῌ Κ΄ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ ΑΥΓΟΥΣΤΟΥ

† Μνήμη τοῦ Ἁγίου Προφήτου Σαμουήλ.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Ἦχος Πα

Θε ος Κυ ρι ος και ε πε φα νεν η μιν ευ λο γη με νος ο ερ χο με νος εν ο νο μα τι Κυ ρι ου

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ( Τὸ ὡς ἄνω )

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θε ος Κυ ρι ος και ε πε φα νεν η μιν ευ λο γη με νος ο ερ χο με νος εν ο νο μα τι Κυ ρι ου

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. ( Τὸ ὡς ἄνω )

# 20-08-2018 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΜΕΘΕΟΡΤΟΣ

## Ἀπολυτίκιον

### Ἦχος Πα




**Δόξα... Καὶ νῦν... Τὸ αὐτὸ**



την ζω ην Δ μη τηρ υ παρ χου σα της ζω

ης Δ και ταις πρε σβει αις ταις σαι αις λυ τρου με

νη εκ θα να του τας ψυ χα ας η η μω ω ω ων π

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα τῆς Ἑορτῆς

Ἦχος γ΄

Τὴν ὡραιότητα

Εἰς τὰ οὐράνια, ἡ νοερά σου ψυχή, εἰς τὸν Παράδεισον, ἡ καθαρά σου σκηνή, μετατεθεῖσα ἐκ φθορᾶς, ἀγάλλεται Παναγία. Ὅθεν ἀνταπέδωκε, τοῖς ἀνόμοις ὁ Κύριος· δόλον γὰρ εἰργάσαντο, τῷ τιμίῳ Λειψάνῳ σου. Διὸ σὺν Ἀποστόλοις βοῶμεν· Χαῖρε ἡ Κεχαριτωμένη.

Δόξα... Καὶ νῦν... Τὸ αὐτὸ

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα τῆς Ἑορτῆς

Ἦχος δ΄

Κατεπλάγη Ἰωσὴφ

Ἐν χερσὶ τοῦ δι᾽ ἡμᾶς, ἐνανθρωπήσαντος ἐκ σοῦ, παραθεμένην τὴν ψυχήν, ὡς πλαστουργός σου καὶ Θεός, πρὸς τὴν ζωὴν τὴν ἀκήρατον μετέστησεν· ὅθεν σε σεπτῶς μακαρίζομεν, τὴν μόνην καθαρὰν καὶ ἀμόλυντον, καὶ Θεοτόκον ἅπαντες κυρίως, ὁμολογοῦντες κραυγάζομεν· Χριστὸν δυσώπει, πρὸς ὃν μετέστης, σῶσαι τὰς ψυχάς ἡμῶν.

Δόξα... Καὶ νῦν... Τὸ αὐτὸ

Ὁ Ν΄ ψαλμός χύμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

## Ὁ Κανὼν πρῶτος τῆς Ἑορτῆς
## Ὠδὴ α΄. Ἦχος α΄
## Ὁ Εἱρμὸς

Πεποικιλμένη τῇ θείᾳ δόξῃ, ἡ ἱερὰ καὶ εὐκλεὴς Παρθένε μνήμη σου, πάντας συνηγάγετο, πρὸς εὐφροσύνην τοὺς πιστούς, ἐξαρχούσης Μαριάμ, μετὰ χορῶν καὶ τυμπάνων τῷ σῷ, ᾄδοντας Μονογενεῖ, ἐνδόξως ὅτι δεδόξασται». (Δὶς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀμφεπονεῖτο ἀΰλων τάξις, οὐρανοβάμων ἐν Σιὼν τὸ θεῖον σῶμά σου, ἄφνω δὲ συρρεύσασα, τῶν Ἀποστόλων ἡ πληθύς, ἐκ περάτων Θεοτόκε, σοὶ παρέστησαν ἄρδην, μεθ΄ ὧν ἄχραντε, σοῦ τὴν σεπτήν, Παρθένε μνήμην δοξάζομεν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νικητικὰ μὲν βραβεῖα ἦρω, κατὰ τῆς φύσεως Ἁγνή, Θεὸν κυήσασα, ὅμως μιμουμένη δέ, τὸν ποιητήν σου καὶ Υἱόν, ὑπὲρ φύσιν ὑποκύπτεις, τοῖς τῆς φύσεως νόμοις· διὸ θνῄσκουσα, σὺν τῷ Υἱῷ ἐγείρῃ διαιωνίζουσα.

Ἐκ τοῦ μηναίου
Ὠδὴ α΄, Ἦχος δ΄
Τριστάτας κραταιοὺς

Στίχ. Προφῆτα τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Τὴν στεῖράν μου ψυχήν, ἀρετῶν εὐτεκνίαν, ἐκβλαστάνειν σαῖς εὐχαῖς, ἀξίωσον σοφέ, στειρευούσης τὸ βλάστημα, ὅπως σου ἀνευφημήσω, τὴν φωσφόρον πανήγυριν, ἱεροῖς Σαμουὴλ μελῳδήμασιν.

Στίχ. Προφῆτα τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ὁ πάλαι τὴν νηδύν, διανοίξας τῆς Σάρρας, τὴν τῆς Ἄννης προσευχήν, πληροῖ περιφανῶς, καὶ τὴν ἄγονον γόνιμον, χάριτι ἀποτελέσας Σαμουὴλ ὡς ἀστέρα σε, ἐξ αὐτῆς ἀνατεῖλαι ηὐδόκησεν.

Δόξα...

Τῇ θείᾳ ἱερῶς, συνακμάσας παμμάκαρ, διπλοΐδι τὴν ψυχήν, ἀκτῖσι μυστικαῖς ἐφωτίσθης τοῦ Πνεύματος, πᾶσαν μύησιν θεόφρον μυηθείς, καὶ ὡς Ἄγγελος, λειτουργήσας Θεῷ παντοκράτορι.

Καὶ νῦν... Θεοτοκίον

**Ὁ** ὢν σὺν τῷ Πατρί, ὡς Υἱὸς πρὸ αἰώνων, ἐπ΄ ἐσχάτων σαρκωθείς, Υἱός σου ἀληθῶς, ἐχρημάτισεν Ἄχραντε, ἅπαντας υἱοθετήσας, τῷ Θεῷ διὰ πίστεως, δουλωθέντας δεινῷ πολεμήτορι.

Κανὼν α΄, Ὠδὴ γ΄, τῆς Ἑορτῆς
Ἦχος α΄
Ὁ Εἱρμὸς

**Ἡ** δημιουργική, καὶ συνεκτικὴ τῶν ἁπάντων, Θεοῦ σοφία καὶ δύναμις, ἀκλινῆ ἀκράδαντον, τὴν Ἐκκλησίαν στήριξον Χριστέ· μόνος γὰρ εἶ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος».(Δὶς)

Στίχ. **Ὑ**περαγία Θεοτόκε, σῶσον ἡμᾶς.

**Γ**υναῖκά σε θνητήν, ἀλλ΄ ὑπερφυῶς καὶ Μητέρα, Θεοῦ εἰδότες Πανάμωμε, οἱ κλεινοὶ Ἀπόστολοι, πεφρικυίαις ἥπτοντο χερσί, δόξῃ ἀπαστράπτουσαν, ὡς θεοδόχον σκῆνος θεώμενοι.

Στίχ. **Ὑ**περαγία Θεοτόκε, σῶσον ἡμᾶς.

**Ὑ**πέφθασε χερσί, ταῖς ὑβριστικαῖς τοῦ αὐθάδους, τομὴν ἡ δίκη ἐπάξασα, τοῦ Θεοῦ φυλάξαντος, τὸ σέβας τῇ ἐμψύχῳ κιβωτῷ, δόξῃ τῆς Θεότητος, ἐν ᾗ ὁ Λόγος σάρξ ἐχρημάτισε.

Κανὼν α΄, Ὠδὴ γ΄, τοῦ Ἁγίου Προφήτου
Ἦχος δ΄. Οὐκ ἐν σοφίᾳ

Στίχ. Προφῆτα τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ὑψηλοτάτως, τῷ Θεῷ προσκολλώμενος ἔνδοξε, ἠγαπήθης παρ΄ αὐτοῦ, φρονήσει θείᾳ κοσμούμενος, καὶ ἀκεραιότητι, καλλωπιζόμενος.

Στίχ. Προφῆτα τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Βίον Ἀγγέλων, ἐπὶ γῆς Σαμουὴλ ἐνδεικνύμενος, συλλαλοῦντας ἐμφανῶς, Ἀγγέλους ἔσχες μακάριε, καὶ τὰ ὑπὲρ ἔννοιαν, μυσταγωγοῦντάς σε.

Δόξα...

Λαμπρὸν τὸ ὄμμα, τῆς ψυχῆς ἱερῶς προσκτησάμενος, βλέπεις ὄντως τὰ μακράν, ὡς ἐνεστῶτα μακάριε, Προφήτης δεικνύμενος, τοῦ Παντοκράτορος.

Καὶ νῦν... Θεοτοκίον

Ἐκ σοῦ προῆλθεν, Ἰησοῦς ὁ Χριστὸς σωματούμενος, καὶ ἐθέωσεν ἡμᾶς, σαρκὸς προσλήψει πανάμωμε· ὅθεν ὡς Μητέρα σε, τούτου γεραίρομεν.

## Ὠδὴ γ´, τοῦ Ἁγίου Προφήτου
## Ἦχος δ´.
## Ὁ Εἱρμὸς

**Ο**ὐκ ἐν σοφίᾳ, καὶ δυνάμει καὶ πλούτῳ καυχώμεθα, ἀλλ´ ἐν σοὶ τῇ τοῦ Πατρός, ἐνυποστάτῳ σοφίᾳ Χριστέ· οὐ γὰρ ἐστιν Ἅγιος, πλήν σου φιλάνθρωπε.

## Ἦχος λ τος



## Κάθισμα τοῦ Ἁγίου Προφήτου

Ἦχος γ´

Θείας Πίστεως

Νόμου κρίμασιν ἐντεθραμμένος, χρῖσμα τίμιον εἰσδεδεγμένος, ὡς Ἀαρὼν ἱερωσύνῃ διέπρεψας, καὶ λαμπρυνθεὶς τὴν καρδίαν τῷ Πνεύματι, ὡς ἐνεστῶτα τὰ πόρρω διέβλεψας, ἱερώτατε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα... Καὶ νῦν... Τῆς Ἑορτῆς

Τὴν ὡραιότητα

Ἐν τῇ Γεννήσει σου, σύλληψις ἄσπορος, ἐν τῇ Κοιμήσει σου, νέκρωσις ἄφθορος, θαῦμα ἐν θαύματι διπλοῦν, συνέδραμε Θεοτόκε· πῶς γὰρ ἡ ἀπείρανδρος, βρεφοτρόφος ἁγνεύουσα; πῶς δὲ ἡ Μητρόθεος, νεκροφόρος μυρίζουσα· διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

## Ὠδὴ ς´, τοῦ Ἁγίου Προφήτου

Ἦχος δ´. Ὁ Εἱρμὸς

Ἐβόησε, προτυπῶν τὴν ταφὴν τὴν τριήμερον, ὁ Προφήτης, Ἰωνᾶς, ἐν τῷ κήτει δεόμενος· Ἐκ φθορᾶς με ῥῦσαι, Ἰησοῦ Βασιλεῦ τῶν δυνάμεων».

# 20-08-2018 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΜΕΘΕΟΡΤΟΣ

Ἦχος



## Κοντάκιον τῆς Ἑορτῆς
### Ἦχος πλ. β´
### Αὐτόμελον

Τὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον, καὶ προστασίαις ἀμετάθετον ἐλπίδα, τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν· ὡς γὰρ ζωῆς Μητέρα, πρὸς τὴν ζωὴν μετέστησεν, ὁ μήτραν οἰκήσας ἀειπάρθενον.

## Σ Υ Ν Α Ξ Α Ρ Ι Ο Ν

Τῇ Κ´ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου καὶ ἐνδόξου Προφήτου Σαμουήλ.

### Στίχοι

Μύσας τελευτῇ καὶ Σαμουὴλ ὁ βλέπων,
Τὸ ζῶν ἀεὶ φῶς καὶ τελευτήσας βλέπει.
Βῆ δ´ ὁρόων μέλλοντα Σαμουὴλ εἰκάδι ἔνθεν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν Ἁγίων τριάκοντα ἑπτὰ μαρτύρων, τῶν ἐν Βιζύῃ τῆς Θράκης μαρτυρησάντων.

### Στίχοι

Τρεῖς ἐνδέουσι πρὸς τὸ τοὺς κεκαυμένους.
Χάριν Τριὰς σοῦ, τετράκις τελεῖν δέκα.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν Ἁγίων μαρτύρων Σεβήρου καὶ Μέμνονος Κεντυρίωνος.

Στίχοι

Ξίφει παθῶν Σεβῆρος εὗρεν ἀξίως,
Ἔπαθλα λαμπρὰ τοῦ διὰ ξίφους πάθους.
Ἔχει τὸ πῦρ σε πρὸς βραχὺν Μέμνον χρόνον,
Μένει δὲ σε στέφανος ἐς ἀεὶ μένων.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς Ἁγίας μάρτυρος Φωτεινῆς, ἔξω τῆς πόρτης τῶν Βλαχερνῶν, καὶ τοῦ Ἁγίου μάρτυρος Λουκίου τοῦ Βουλευτοῦ.

Στίχοι

Βουλὰς ὅλας παρῆλθες τὰς Ἀχιτόφελ,
Βουλῇ μιᾷ Λούκιος ἀθλήσας ξίφει.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν Ἁγίων μαρτύρων Ἡλιοδώρου καὶ Δοσαΐ (ἢ Δοσᾶ ἢ Σοδᾶ).

Ταῖς τῶν ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

## Ὠδὴ η´, τοῦ μηναίου
## Ἦχος δ´
## Ὁ Εἱρμὸς

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον,

Λυτρωτὰ τοῦ παντὸς Παντοδύναμε, τοὺς ἐν μέσῳ φλογὸς εὐσεβήσαντας, συγκαταβὰς ἐδρόσισας, καὶ ἐδίδαξας μέλπειν· Πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.



## Τιμιωτέρα τετάρτου ἤχου.

Στίχος α΄ Με γα λυ νει η ψυ χη μου
τον Κυ ρι ον και η γαλ λι α σε το
πνευ μα μου ε πι τω Θε ω ω τω σω
τη ριμου

Την Τι μι ω τε ραν των Χε ρου βιμ και
εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ
την α δι α φθο ρως Θε ον Λο γον τε κου
σαν την ον τως Θε ο το κον σε με γα λυ νο
μεν

Στίχος β΄ Ο τι ε πε βλε ψεν ε πι την

τα πει νω σιν της δου λης αυ του ι δου
γαρ α πο του νυν μα κα ρι ου σι με πα
σαι αι γε νε αι

Την Τι μι ω τε ραν των Χε ρου βιμ και
εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ
την α δι α φθο ρως Θε ον Λο γον τε κου
σαν την ον τως Θε ο το κον σε με γα λυ νο
μεν

Στίχος γ΄ Ο τι ε ποι η σε μοι με γα
λει α ο δυ να τος και α γι ον το
ο νο μα αυ του και το ε λε ος αυ του


εις γε νε αν και γε νε αν τοις φο βου
με νοις αυ τον
Την Τι μι ω τε ραν των Χε ρου βιμ και
εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ
την α δι α φθο ρως Θε ον Λο γον τε κου
σαν την ον τως Θε ο το κον σε με γα λυ νο
μεν
Στίχος δ΄
Ε ποι η σε κρα τος εν βρα χι
ο νι αυ του δι ε σκορ πι σεν υ πε
ρη φα νους δι α νοι α καρ δι ας αυ των
Την Τι μι ω τε ραν των Χε ρου βιμ και


εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ
την α δι α φθο ρως Θε ον Λο γον τε κου
σαν την ον τως Θε ο το κον σε με γα λυ νο
μεν
Στίχος ε΄
Κα θει λε δυ να στας α πο θρο
νων και υ ψω σε τα πει νους πει νων τας ε
νε πλη σεν α γα θων και πλου του ουν τας ε
ξα πε στει λε κε νους
Την Τι μι ω τε ραν των Χε ρου βιμ και
εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα
φιμ την α δι α φθο ρως Θε ον Λο γον τε

κου σαν την ον τως Θε ο το κον σε με γα λυ

νο μεν

Στίχος στ΄ Ἀν τε λα βε το Ισ ρα ηλ παι

δος αυ του μνη σθη ναι ε λε ους κα θως

ε λα λη σε προς τους πα τε ρας η μων

τω Α βρα αμ και τω σπερ μα τι αυ του ε

ως αι ω νος

Την Τι μι ω τε ραν των Χε ρου βιμ

και εν δο ξο τε ραν α συγ κρι τως των

Σε ρα φιμ την α δι α φθο ρως Θε ον

Λο γον τε κου σαν την ον τως Θε ο το κον




## Ὠδὴ θ΄, τοῦ Ἁγίου Προφήτου
## Ἦχος δ΄. Ὁ Εἱρμὸς

Εὔα μὲν τῷ τῆς παρακοῆς νοσήματι, τὴν κατάραν εἰσῳκίσατο, σὺ δὲ Παρθένε Θεοτόκε, τῷ τῆς κυοφορίας βλαστήματι, τῷ κόσμῳ τὴν εὐλογίαν ἐξήνθησας· ὅθεν σε πάντες μεγαλύνομεν.

### Ἦχος πλ. β΄



Ἦχος Γ' τος Βου



## Ἐξαποστειλάριον τοῦ Ἁγίου Προφήτου
### Ἦχος γ΄ Ὁ οὐρανὸν τοῖς ἄστροις

Ὁ Σαμουὴλ ὑμνείσθω, ὁ πρὸ συλλήψεως δοθείς, δοτὸς Θεῷ τῷ Ὑψίστῳ ὑπὸ μητρὸς πανευκλεοῦς, καὶ βασιλεῖς χρίων οὗτος, ὡς Ἱερεὺς καὶ Προφήτης.

## Ἐξαποστειλάριον τῆς Ἑορτῆς
### Ἦχος γ΄

Ἀπόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεθσημανῇ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα, καὶ σὺ Υἱὲ καὶ Θεέ μου παράλαβέ μου τὸ πνεῦμα.

## Α Ι Ν Ο Ι

## ΨΑΛΜΟΣ ΡΜΗ΄ (148)

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

## ΨΑΛΜΟΣ ΡΜΘ΄ (149)

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ Ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ , ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχὴσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον, δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

## ΨΑΛΜΟΣ ΡΝ΄ (150)

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ .

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλλαλαγμοῦ, Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα... Καὶ νῦν...

Ὁ προεστώς:

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀναγνώστης χῦμα τό:

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμεν σε, εὐλογοῦμέν σε, προσκυ νοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος:

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί

τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι Θεός ἐλέους, οἰκτιρμῶν, καὶ

φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αιῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ χορός: Καὶ τῷ πνεύματί σου.

ὁ διάκονος: Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός: Σοί, Κύριε.

Ὁ Ἱερεύς: Τὴν εὐχὴν τῆς κεφαλοκλισίας......

Ὁ Ἱερεύς: Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Καὶ ἀρχόμεθα ψάλλειν τὰ Στιχηρὰ Προσόμοια.
Τῆς Ἑορτῆς.
Ἦχος β', Οἶκος τοῦ Ἐφραθᾶ

Ὅτε πρὸς τὸν ἐκ σοῦ, τεχθέντα μετετέθης, συνῆλθον ἐν νεφέλαις, τὸ σῶμά σου κηδεῦσαι, Παρθένε οἱ Ἀπόστολοι.

Στίχ. Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου.

Ὢ τῶν ὑπερφυῶν, ἁγνή σου μυστηρίων! τοῦ Θεοῦ γὰρ ὡς Μήτηρ, πρὸς τοῦτον μεταβαίνεις, λαμπρῶς θεομακάριστε.

Στίχ. Ὤμοσε Κύριος τῷ Δαυῒδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν.

Στῖφος τῶν Μαθητῶν, καὶ θείων Ἀποστόλων, ἀθροίσθητε κηδεῦσαι, τὸ θεοδόχον σῶμα, τῆς μόνης Θεομήτορος.

Δόξα... Καὶ νῦν... Θεοτοκίον
Ἦχος β'
Οἶκος τοῦ Ἐφραθᾶ

Ὅτε πρὸς τὸν ἐκ σοῦ, τεχθέντα μετετέθης, συνῆλθον ἐν νεφέλαις, τὸ σῶμά σου κηδεῦσαι, Παρθένε οἱ Ἀπόστολοι.

Ἀγαθὸν τὸ ἐξομολογείσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ΄)

Δόξα... Καὶ νῦν ...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα... Καὶ νῦν ...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

## Ἀπολυτίκιον τῆς Ἑορτῆς

### Ἦχος Πα



# 20-08-2018 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΜΕΘΕΟΡΤΟΣ

## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος πλ. δ' Νη




## ΕΤΕΡΑ




4. Κυ ρι ε ε ε λε η σο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

## 20-08-2018 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΜΕΘΕΟΡΤΟΣ

Ἀντίφωνον α΄

Ἦχος Δι

Α μη η ην

Στίχος α΄. Α λα λα ξα τε τω Θε ω
πα σα η γη

Ταις πρε σβει αις της Θε ο το κου Σω
τερ σω σον η μας

Στίχος β΄. Ε ξο μο λο γει σθε αυ τω
αι νει τε το ο νο μα α αυ του

Ταις πρε σβει αις της Θε ο το κου Σω
τερ σω σον η μας

Στίχος γ΄. Εν πο λει Κυ ρι ου των δυ


να μεων εν πο ο λει Θε ου η μων
Ταις πρε σβει αις της Θε ο το κου Σω
τερ σω σον η μας
Στίχος δ'. Ε γε νη θη εν ει ρη νη
ο το πος αυ του και το κα τοι κη τη ρι
ον αυ του εν Σι ων
Ταις πρε σβει αις της Θε ο το κου Σω
τερ σω σον η μας
Δόξα... Καὶ νῦν...
Ταις πρε σβει αις της Θε ο το ο κου Σω
τερ σω σον η μα α ας

## Ἀντίφωνον β΄


Μ
Ἀ μη η ην
Στίχος α΄. Ἀ γα πα Κυ ρι ος τας πυ
λας Σι ων υ περ παν τα τα σκη νω μα τα Ι
α κωβ
Δ Γ Δ Γ
Σω σον η μα ας Υι ε Θε ου ο εν
Β Δ Μ
Α γι ι ι οις θαυ μα στος ψαλ λον τας σοι
Γ Δ
αλ λη λου ι α
Στίχος β΄. Μ
Δε δο ξα σμε να ε λα λη
θη πε ρι σου η πο λις του ου Θε ου
Δ Γ Δ Γ
Σω σον η μα ας Υι ε Θε ου ο εν


Α γι ι ι οις θαυ μα στος ψαλ λον τας σοι
αλ λη λου ι α
Στίχος γ΄. Ο Θε ος ε θε με λι ω
σεν αυ την εις τον αι ω να
Σω σον η μα ας Υι ε Θε ου ο εν
Α γι ι ι οις θαυ μα στος ψαλ λον τας σοι
αλ λη λου ι α
Στίχος δ΄. Η γι α σε το σκη νω μα
αυ του ο Υ ψι στος
Σω σον η μα ας Υι ε Θε ου ο εν
Α γι ι ι οις θαυ μα στος ψαλ λον τας σοι

# 20-08-2018 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΜΕΘΕΟΡΤΟΣ




αν θρω πη σας σταυ ρω θεις τε Χρι στε
ο Θε ος θα να α τω ω θα να τον πα τη σας
ει εις ων της Α γι ας Τρι α δος συν
δο ξα ζο ο με νος τω Πα τρι και τω Α
γι ω Πνευ μα τι σω σον η μα α ας

Εἶτα τὸ γ΄ Ἀντίφωνον

Ἦχος Πα

Στίχος α΄. Ε τοι μη η καρ δι α μου
ο Θε ος ε τοι μη η καρ δι α μου

Ἀπολυτίκιον

Εν τη Γεν νη σει την παρ θε νι αν ε
φυ λα ξας εν τη Κοι μη σει τον κο σμον ου
κα τε λι πες Θε ο το κε με τε στης προς
την ζω ην μη τηρ υ παρ χου σα της ζω
ης και ταις πρε σβει αις ταις σαι αις λυ τρου με
νη εκ θα να του τας ψυ χα ας η η μων

Στίχος β΄. Τὶ ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι;

Στίχος γ΄. Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.

Ἀπολυτίκιον



## Εἰσοδικόν

Δε ευ τε προ σκυ νη σω μεν και προ ο
σπε ε σω ω με εν Χρι στω ω ω ω ω
σω ω σον η μα ας Υι ε ε Θε ου ο εν
α γι ι ι οις θα αυ μα στο ο ο ο ος
ψαλ λον τας σοι αλ λη λου ου ι α

## Ἀπολυτίκιον




## Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ

# 20-08-2018 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΜΕΘΕΟΡΤΟΣ

## Κοντάκιον
## Εἰς τήν Ἑορτήν Κοιμήσεως τῆς Θεοτόκου



## ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΔΕΥΤΕΡΑΣ ΚΓ΄ ΕΒΔΟΜΑΔΟΣ

Προκείμενον. Ἦχος γ΄

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ·

Πρὸς Κορινθίους Β΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα 8:7-15

Ἀδελφοί, ὥσπερ ἐν παντὶ περισσεύετε, πίστει καὶ λόγῳ καὶ γνώσει καὶ πάσῃ σπουδῇ καὶ τῇ ἐξ ὑμῶν ἐν ἡμῖν ἀγάπῃ, ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι περισσεύητε. Οὐ κατ᾿ ἐπιταγὴν λέγω, ἀλλὰ διὰ τῆς ἑτέρων σπουδῆς καὶ τὸ τῆς ὑμετέρας ἀγάπης γνήσιον δοκιμάζων· γινώσκετε γὰρ τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι᾿ ὑμᾶς ἐπτώχευσε πλούσιος ὤν, ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε. Καὶ γνώμην ἐν τούτῳ δίδωμι· τοῦτο γὰρ ὑμῖν συμφέρει, οἵτινες οὐ μόνον τὸ ποιῆσαι, ἀλλὰ καὶ τὸ θέλειν προενήρξασθε ἀπὸ πέρυσι· νυνὶ δὲ καὶ τὸ ποιῆσαι ἐπιτελέσατε· ὅπως καθάπερ ἡ προθυμία τοῦ θέλειν, οὕτω καὶ τὸ ἐπιτελέσαι ἐκ

τοῦ ἔχειν· εἰ γὰρ ἡ προθυμία πρόκειται, καθὸ ἐὰν ἔχῃ τις, εὐπρόσδεκτος, οὐ καθὸ οὐκ ἔχει. Οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις, ὑμῖν δὲ θλῖψις, ἀλλ᾽ ἐξ ἰσότητος ἐν τῷ νῦν καιρῷ τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα· ἵνα καὶ τὸ ἐκείνων περίσσευμα γένηται εἰς τὸ ὑμῶν ὑστέρημα, ὅπως γένηται ἰσότης, καθὼς γέγραπται· ὁ τὸ πολὺ οὐκ ἐπλεόνασε, καὶ ὁ τὸ ὀλίγον οὐκ ἠλαττόνησε.

Ἀλληλούϊα. Ἦχος πλ. δ΄

Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου.

Στίχ. Ὤμοσε Κύριος τῷ Δαυῒδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν· ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.


Ἦχος Πα
Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Σοι Κυ ρι ε
Α μη η η η ην
Και τω πνευ μα τι ι ι ι ι σου
Σοι οι οι οι οι Κυ ρι ε
Ἕτερον.
Σοι Κυ ρι ε ε ε ε ε ε
Α α α μην

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον,
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,
καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

## ΕΙΣ ΑΓΙΟΣ

Ἦχος Πα Ἐναρμόνιος



# 20-08-2018 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΜΕΘΕΟΡΤΟΣ

Ἦχος



# ΚΟΙΝΩΝΙΚΑ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ ΣΥΝΤΟΜΑ

## Τῇ Δευτέρᾳ (τῶν Ἀσωμάτων).

Ἦχος Πα



# 20-08-2018 ΟΡΘΡΟΣ ΔΕΥΤΕΡΑΣ ΜΕΘΕΟΡΤΟΣ

## Τῇ Δευτέρᾳ (τῶν Ἀσωμάτων)

## Κοινωνικό. Ὁ ποιῶν τούς Ἀγγέλους.




ου ου ου ου ου ου ους λει ει ει ει ει
ει ει ει ει ει ει ει ει ει ει ει ει ει λει τουρ
γου ου ου ους α αυ του ου ου ου πυ υ
υ υ υ ρο ο ο ο ο ο ο ο ο
ο ο ο ος φλο ο ο ο ο ο ο ο ο ο
ο ο ο ο ο ο πυ ρο ο ος φλο ο
ο ο ο ο γα α α α Αλ λη λου ου ου
ου ου ι α α α α α α α α

## Εἴδομεν τὸ φῶς τό ἀληθινόν

Ἦχος Δι




## Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί...




αι νε σε ως σου Κυ ρι ε ο πως υ μνη
σω μεν την δο ο ξαν σου ο τι η ξι ω
σας η μας των α γι ων σου με τα σχειν
μυ στη ρι ι ι ι ων τη ρη σον η μας
εν τω σω α γι α σμω ο λην την η
με ραν με λε ταν την δι και ο συ νην σου
Αλ λη λου ι α Αλ λη λου ι α Αλ λη
λου ου ι α α α

Εἴη τό ὄνομα...




Τόν Εὐλογούντα...




Ἦχος Βαρύς Ζω
Υε Πα να γι ι α Δε
ε σποι να υ πο την σκε ε ε πην σου παν τες
οι δου ου λοι οι σου τρε ε χο μεν και πα ρα α
κα λου ου μεν σε ε ε οι οι α να α ξι οι
προ φθα σον και λυ τρω σε η μας α πο πα
σης πε ρι στα α σε ως και α πο θα α να τον τον
ε ξα α φνι κο ο ον και αι πα νο ο λε θρον
οι δα μεν ο ο τι δυ υ να σαι παν τα ο σα
αν θε ε ε λει εις και βου ου λε σαι Δε ε σποι
να α του κο ο ο σμου ελ πις και προ στα σι ι
α των πι στων Κε χα ρι τω με ε νη η ε


πα α κου σον των πα ρα α κα λου ουν των σε
ε ε ε ε ε ε ε ε ε

## Θεοτοκία εἰς ἦχον Βαρύν
## Μὴ καταπιστεύσεις με

Ἦχος Βαρύς Ζω






Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελῳδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.